# L'évergétisme au féminin

*Statut et rôle des femmes bienfaitrices dans les cités grecques à l'époque hellénistique*

Sous la direction de
Enora LE QUERE, Maîtresse de Conférences en Histoire grecque



Mémoire de Master en Histoire grecque
Présenté par Baptiste Baron

Mémoire soutenu le 27 juin 2022 devant un jury composé de
Nadine BERNARD, Maîtresse de Conférences HDR en Histoire grecque
et
Enora LE QUERE, Maîtresse de Conférences en Histoire grecque

*Volume 2 – Annexes*

# Annexe 1

## Les bienfaitrices de l'époque hellénistique dans les inscriptions

## Asie Mineure

### 1. Chrysine de Cnide (fin du IV^e siècle av. J.-C.)

**Référence : *IK.* Knidos I, 131**

**Texte**

Κούραι καὶ Δάματρι οἶκον καὶ ἄγαλμ' ἀνέθηκεν | Χρυσογόνη[ς] μήτηρ, Ἱπποκράτους δὲ ἄλοχος, | Χρυσίνα, ἐννυχίαν ὄψιν ἰδοῦσα ἱεράν· | Ἑρμῆς γάρ νιν ἔφησε θεαῖς Ταθνηι προπολεύειν |

**Traduction (DIGNAS 2006, p. 77)**

Chrysine, mère de Chrysigone, épouse d'Hippocratès, consacre un *oikos* et un agalma à Koré et Déméter car une vision sacrée lui est apparue la nuit, Hermès lui disant de servir de prêtresse aux déesses de Tathne.

### 2. Névopolis d'Aspendos (fin du III^e - début du II^e siècle av. J.-C.)

**Référence :** BRIXHE 1976, p. 200-202, n°17.

**Texte**

[Ν]ẹϝ[ό]πολις Ἀφορδισίι[υ]
Νεϝοπόλεις δαμιοργίσο¯-
σα περτέδο¯κε ἰς ερε-
μνι καὶ πυλο˜¯να ἀργύ-
ρυ μνᾶς φίκατι.

**Traduction (E. LE QUERE)**

Névopolis, fille d'Aphrodisios, lui-même fils de Névopolis, démiurge, a fait don de vingt mines d'argent pour un support (?) (*eremni*) et une porte.

### 3. Kourasiô d'Aspendos (II^e siècle av. J.-C.)

**Référence** : BRIXHE 1976, p. 202-204, n°18.

**Texte**

Κουρασιὼ Λιμνάου
Κουρασίωνυς
δαμιοργίσωσα
περτέδωκε ἰς πύργο
ἀργύρυ μνᾶς φίκατι

**Traduction (BIELMAN 2002, p. 92, n°16)**

Kourasiô – fille de Limnaos, lui-même fils de Kourasiôn – démiurge, a fait don de vingt mines d'argent pour une tour.

## 4. Archippè de Kymé (IIe siècle av. J.-C.)

**Référence :** *IK* Kyme 1

### Pilier A décret I

**Texte**

— — —

[ἐπιγραφὰν ἔχοισαν· "ὁ δᾶμος Ἀρχίππαν τὰν Δικαιογένεος] ἀρετᾶς ἔνεκεν [καὶ εὐ]νοίας τᾶς εἰς ἑαυτ̣όν". παρ[στᾶ]σ̣αι δ[ὲ αὐ]τᾶ̣ ἐπὶ τῶ αὐτῶ βάματ̣ος καὶ εἰκόνα χαλκέαν τῶ Δά[μω κ]ολοσσιαίαν στεφάνοισαν αὐτάν· στᾶσαι δὲ καὶ τῶ πατρὸς αὐτᾶς Δικαιογένεος τῶ Λακράτεος εἰκόνα χαλκέαν ἐπὶ τῶ αὐτῶ βάματος ἐπιγραφὰν ἔχοισαν· "ὁ δᾶμος Δικαιογένην Λακράτεος". στεφανωσάτω δὲ καὶ ὁ ἀγωνοθέτας Ἀρχίππαν τὰν Δικαιογένεος χρυσέῳ στεφάνῳ ἐν τοῖς πρώτοις Διονυσίοισι τῷ ἀγῶνι τῶν παίδων ἀρετᾶς ἕνεκεν καὶ εὐνοίας τᾶς εἰς τὸν δᾶμον· καλῆσθαι δὲ αὐτὰν καὶ εἰς προεδρίαν· τὰν δὲ ἀναγγελίαν τῶν προγεγραμμένων ποιήσθω ὅ τε νῦν ἐὼν ἀγωνοθέτας καὶ οἱ ἑκάστοτε ἐσσόμενοι καθότι καὶ τοῖς ἄλλοις εὐεργέταις· ἐπεὶ δέ κε τελευτάσῃ Ἀρχίππα, ὁ ἐσσόμενος κὰτ τὸν καιρὸν πρύτανις στεφανωσάτω αὐτὰν χρυσέῳ στεφάνῳ ποιήμενος τὰν ἀναγγελίαν καθότι προγέγραπται· δεδόσθαι δὲ αὐτᾷ καὶ ταφὰν ὅππoι καὶ τοῖς ἄλλοις εὐεργέταις· ἵνα δὲ καὶ τὰν ταχίσταν συντελεσθέοισιν οἵ τε ἀνδριάντες καὶ τὸ βᾶμα, παρακαλέσσαι τὸν κασίγνατον αὐτᾶς Ὀλύμπιον τὸν Δικαι̣ογένεος εἰσενέγκαι τὰ χρήματα ἀναπόδοτα καὶ κατασκευάσσαι αὐτὸν τὰ προγεγραμμένα καθότι κεν Ἀρχίππα προαιρῆται· ἔμμεναι δὲ τὸ ψάφισμα τοῦτο ἐπὶ σωτηρίᾳ τᾶς τε πόλιος καὶ τῶν πολιτᾶν· ἐπὶ Μητροφάνου, μηνὸς Τερφείου.

**Traduction (SAVALLI-LESTRADE 2003, p. 282-292)**

[Une statue d’Archippè portant l’inscription suivante : « Le peuple (honore) Archippè, fille de Dicéogène] pour la valeur et le dévouement manifestés à son égard ». Il érige en outre sur la même base, à côté de la statue d’Archippè, une statue de bronze « colossale » du Peuple, représentée en train de ceindre Archippè d’une couronne ; il érige aussi sur la même base une statue en bronze du père d’Archippè, Dicéogène, fils de Lakratès, portant l’inscription suivante : « Le peuple honore Dicéogène, fils de Lakratès. ». Que l’agonothète couronne Archippè, fille de Dicéogène, d’une couronne d’or aux prochaine Dionysies, durant le concours des enfants (paides), pour la valeur et le dévouement montrés envers le peuple ; qu’il l’invite à s’asseoir à la place d’honneur ; que l’agonothète actuellement en charge et ses successeurs proclament lesdits honneurs comme pour les autres bienfaiteurs. Quand Archippè sera décédée, que le prytane en charge la couronne d’une couronne d’or faisant la proclamation ci-dessus indiquée. Qu’elle soit en outre inhumée où gisent les autres bienfaiteurs. Afin que les statues et la base soient construites dans les plus brefs délais, qu’il invite son frère Olympios, fils de Dicéogène, à fournir la somme nécessaire à fonds perdu et à réaliser ce qui est dit plus haut, suivant la volonté d’Archippè. Que le présent décret soit adopté pour le salut de la cité et des citoyens. Sous [la prytanie de] Mêtrophanês, mois de Terpheios.

# Pilier A décret II

*Décret sur les sacrifices destinés aux tribus*

## Texte

ψηφισμα περὶ θυσιῶν ταῖς φύλαις · ἔδοξεν τῇ βουλῇ, γνώμη στρατηγῶν καὶ φυ-λάρχων καὶ τῶν συνέδρων · ἐπειδὴ Ἀρχίπ-πη ἡ δικαιογένου κατακολουθοῦσα τῇ ἑαυ-τῆς καλοκἀγαθίᾳ καὶ ᾗ διὰ παντὸς εἰσφερε-ται πρὸς τὴν πατρίδα εὐνοίᾳ καὶ φιλοδοξί-ᾳ οὐθένα καιρὸν παραλείπει τῶν πρὸς φι-λαγαθίαν καὶ ἐκτένειαν ἀνηκόντων, ἐ-φ 'οἷς καὶ τὴν κατὰ κοινὸν ὑπὸ τοῦ δήμου καὶ κατ 'ἰδίαν ὑφ' ἑκάστου τῶν πολιτῶν ἀ-παντᾶσθαι αὐτῇ συνβαίνει ἀποδοχὴν καὶ εὐχαριστίαν τετιμημένῃ {ν} ἐπιφανέσι κα [ὶ] ἐνδόξοις τιμαῖς καὶ ἀξίαις τῆς τε τῶν προ-γόνων ἀρετῆς καὶ καλοκἀγαθίας καὶ τῆς ἰδίας πρὸς τὸν δῆμον ἐκτενείας, δι 'ἃς καὶ τὴν πατρίδα καλλίονα καὶ ἐπιφανεστέραν καθέ-στακεν, ἐπιγεγραφεῖα τε ἐπὶ τὸ συντετελεσ-μένον βουλευτήριον κατὰ τὰ προεψηφισμέ-να προείρηται καὶ τῶν πρὸς φιλανθρωπίαν ἀνηκόντων ἐπίδοσιν ποιήσασθαι, καὶ δέ-δωκεν εἰς θυσίαν καὶ εὐωχίαν τῇ τε βουλῇ τῇ πανδήμῳ στατῆρας πεντήκοντα καὶ εἰς τὸν παρασταθησόμενον τῇ θυσίᾳ βοῦν ἀργυρίου ἀττικοῦ δραχμὰς ἑβδομήκον-τα καὶ οἴνου παλαιοῦ πρόχους πεντήκοντ [α] καὶ τῶν φυλῶν ἑκάστῃ καὶ τοῖς παροίκοις τὸ ἴσον πλῆθος, καὶ γλυκιεῖν ἐν τῷ συντετε-λεσμένῳ ὑφ 'ἑαυτῆς βουλευτηρίῳ τους τε πολίτας καὶ τοὺς ἄλλους τοὺς κατοι-κοῦντας ἐν τῇ πόλει · δεδόχθαι τῷ δή-μῳ · ἐπαινέσαι Ἀρχίππην καὶ ἐν τούτοις καὶ ἀποδεδέχθαι μετὰ πάσης εὐνοίας τὴν προαίρεσιν αὐτῆς καὶ τὴν πρὸς τὴν πατρίδα ἐκτένειαν καὶ φιλαγαθίαν. ἐδόθη Τερφ [ εἰ ] -ου δωδεκάτῃ, ἐπὶ Ἀπολλοδώρου τοῦ Διο [..] -νου.

## Traduction (SAVALLI-LESTRADE 2003, p. 282-292)

Il a paru bon au conseil, sur proposition des stratèges, des phylarques et des membres de l’assemblée. Attendu que Archippè, fille de Dicéogène, conformément à sa grandeur d’âme, au dévouement qu’elle ne cesse de manifester à l’égard de la patrie et à son amour de la gloire, ne néglige aucune occasion qui requiert amour du bien et zèle, raison pour laquelle le peuple collectivement et chacun en particulier lui ont adressé un signe d’approbation et de reconnaissance, l’honorant des honneurs les plus éclatants et les plus glorieux, dignes de la valeur et de la noblesse d’âme des ancêtres comme de son zèle envers le peuple, vertus grâce auxquelles elle a rendu la patrie plus belle et plus illustre ; puisque, après avoir proposé sa propre dédicace, conformément à ce qui avait été précédemment voté, au *bouleutêrion* maintenant construit, elle a décidé de faire un acte de générosité et a donné à la *Boulê pandêmos* 50 statères pour le sacrifice et le banquet, 70 drachmes d’argent attique pour le bœuf à présenter au sacrifice et 50 mesure [164 litres] de vin vieux, ainsi que la même quantité [d’argent et de vin] à chaque tribu et aux *paroikoi*, et dans le *bouleutêrion* qu’elle a fait construire a offert un rafraîchissement à base de vin doux aux citoyens et aux autres habitants de la cité, qu’il plaise à l’Assemblée de louer également Archippè pour ces actes et d’approuver avec bienveillance sa conduite, le zèle dont elle fait montre à l’égard de la patrie et son amour du bien. Voté le 12 de Terpheios, sous [la prytanie d’]Apollodore fils de Dio[]ne.

## Pilier A décret III

*Décret sur les sacrifices et la réception offerts par Archippè aux tribus*

**Texte**

ψηφισμα περὶ θυσιῶν ταῖς φ̣ύλαις εἰς ἕ ἔδωκεν Ἀρχίππη, καὶ γλυκισμοῦ · ἔδοξε τᾷ βολλᾷ, γνώμα στραταγῶν καὶ φυλάρχων καὶ τῶν συνέ-δρων · ἐπειδὴ Ἀρχίππα ἁ δικαιογένεος κατακολουθεῖσα τᾷ ἑαυ-τᾶς καλοκἀγαθίᾳ καὶ ᾇ διὰ παντὸς εἰσφέρεται πρὸς τὰν πάτριν εὐνοί-ᾳ καὶ φιλοδοξίᾳ οὐθένα καιρὸν παραλείπει τῶν πρὸς φιλαγαθίαν καὶ ἐ-κτένειαν ἀνηκόντων, ἐφ 'οἷς καὶ τὰν κατὰ κοινὸν ὑπὸ τῶ δάμω καὶ κα-τ 'ἰδίαν ὑπ' ἑκάστω τῶν πολιτᾶν ἀπαντᾶσθαι αὐτᾷ συμβαίνει ἀποδο-χὰν καὶ εὐχαριστίαν τετιμαμένᾳ {ν 'ἐπιφανέεσσι καὶ ἐνδόξοισι τιμαῖς καὶ ἀξίαισι τᾶς τε τῶν προγόνων ἀρετᾶς καὶ καλοκἀγαθίας καὶ τᾶς ἰδίας πρὸς τὸν δᾶμον ἐκτενείας, δι 'ἃς καὶ τὰν πάτριν καλλίονα καὶ ἐπιφανε-στέραν καθέστακε, νῦν τε, κατεσκευασμέναν τᾶν εἰκόνων τᾶν ἐψαφ [ ισ ] -μέναν ὑπὸ τῶ δάμω, Ἀρχίππας τε στεφανωμένας ὑπὸ τῶ Δάμω κολ [ οσ ] –σαιαι εἰκόνι καὶ τῶ πατρὸς αὐτᾶς δικαιογένεος, καὶ ἐστακοίσαν πρὸ τῶ βολλευτηρίω τῶ ἀνατεθειμένω ὑπὸ Ἀρχίππας, προαίρηται καὶ τῶν πρὸς φιλανθρωπίαν ἀνηκόντων ἐπίδοσιν ποιήσασθαι καὶ δέδω-κεν εἰς θυσίαν καὶ εὐωχίαν τᾷ τε βολλᾷ τᾷ πανδάμῳ στατῆρας πεν-τήκοντα καὶ τᾶν φυλᾶν ἑκάστᾳ στατῆρας ἑξήκοντα καὶ τοῖς μετοίκοι-σι καὶ ἀπελευθέροισι στατῆρας πεντήκοντα καὶ ἐγλύκισεν τοίς τε πο [λί] -ταις καὶ τοὶς ἄλλοις τοὶς κατοικῆντας ἐν τᾷ πόλει · δεδόχθαι τῷ δ [ ά ] -μῳ · ἐπαινέσαι Ἀρχίππαν καὶ ἐν τούτοισι καὶ ἀποδεδέχθαι μετὰ παίσ [ ας ] εὐνοίας τὰν προαίρεσιν αὐτᾶς καὶ τὰν πρὸς τὰν πάτριν ἐκτένειαν καὶ φ [ιλα] -γαθίαν · προέθηκαν οἱ στραταγοὶ πάντες, Τερφείου, ἐπὶ Καλλίππου.

**Traduction (SAVALLI-LESTRADE 2003, p. 282-292)**

Il a paru bon au conseil, sur proposition des stratèges, des phylarques et aux membres de l’assemblée. Puisque Archippè, fille de Dicéogène, conformément à sa grandeur d’âme, au dévouement qu’elle ne cesse de manifester à l’égard de la patrie et à son amour de la gloire, ne néglige aucune occasion qui requiert amour du bien et zèle, raison pour laquelle le peuple collectivement et chacun en particulier lui ont adressé un signe d’approbation et de reconnaissance, l’honorant des honneurs les plus éclatants et les plus glorieux, dignes de la valeur et de la noblesse d’âme des ancêtres comme de son zèle envers le peuple, vertus grâce auxquelles elle a rendu la patrie plus belle et plus illustre ; puisque, maintenant que le statues votées par le peuple, c’est-à-dire Archippè couronnée par une statue « colossale » du Peuple et son père Dicéogène, ont été achevées et placées devant le *bouleutêrion*, elle a décidé de faire un acte de générosité et a donné à la *Boulê pandêmos* 50 statères pour le sacrifice et le banquet, 69 statères à chacune des tribus et 50 statères aux *metoikoi* et aux affranchis, et a offert un rafraîchissement à base de vin doux aux citoyens et aux autres habitants de la cité, qu’il plaise à l’Assemblée de louer également Archippè pour ces actes et d’approuver avec bienveillance sa conduite, le zèle dont elle fait preuve à l’égard de la patrie et son amour du bien. Les stratèges au grand complet ont présenté [la proposition du conseil à l’Assemblée], mois de Terpheios, sous la prytanie de Kallippos.

# Pilier A décret IV

*Décret sur le sacrifice pour Archippè*

**Texte**

ψηφισμα περὶ θυσίας ὑπὲρ Ἀρχίππης · ἔδοξεν τῇ βουλῇ, γνώμη στρατηγῶν καὶ φυλάρχων καὶ τῶν συνέδρων · ἐπειδὴ Ἀρχίππης τῆς Δικαιογένου εἰς ἐπισφαλῆ καὶ ἐπικίνδυνον ἐνπεσούσης ἀσθένειαν ἠγωνίασεν ὁ δῆμος διὰ τὸ ἐκτενῶς διακεῖσθαι πρὸς αὐτήν, ὑπάρχουσαν εὔτακτον καὶ σώφρονα καὶ ἀξίαν τῆς τε ἰδίας καὶ τῆς τῶν προγόνων καλοκἀγαθίας, καὶ πολλὰς καὶ μεγάλας ἀποδείξεις πεποιῆσθαι τῆς πρὸς τὴν πατρίδα εὐνοίας τε καὶ φιλαγαθίας, νῦν δὲ σὺν τῇ τῶν θεῶν προνοίᾳ ἐν βελτίονι ὑπαρχούση <ς> αντίσει ἡδόμενος μεγάλως ὁ δῆμος ἐπὶ τῇ σωτηρίᾳ αὐτῆς καλῶς ἔχον ἡγεῖται καὶ οἰκεῖον τῆς οὔσης αὐτῷ πρὸς Ἀρχίππην εὐνοίας ἐπιτελέσαι τοῖς θεοῖς ἐπὶ τούτοις τὰ πρέποντα χαριστήρια, διὸ καὶ ἐπ 'ἀγαθῇ τύχῃ δεδόχθαι τῷ δήμῳ · τοὺς στρατηγοὺς θυσίαν ἐπιτελέσαι τοῖς θεοῖς ὑπὲρ τῆς Ἀρχίππης σωτηρίας καὶ ὑγιείας · Διος, ἐπὶ Ἀθηναίου τοῦ Ξένωνος.

**Traduction (SAVALLI-LESTRADE 2003, p. 282-292)**

Il a paru bon au conseil, sur proposition des stratèges, des phylarques et des synèdres. Puisque, lorsque Archippè est tombé gravement malade, le peuple a vécu dans l'inquiétude parce qu'il est profondément attaché à Archippè, vu qu'elle est bien élevée, vertueuse, digne de sa noblesse d'âme et de celle des ancêtres, et qu'elle a donné de nombreuses et grandes preuves de son dévouement à la patrie et de son amour du bien ; puisque maintenant, grâce à la divine providence, Archippè se porte mieux, le peuple se réjouit grandement de sa guérison et juge opportun et conforme à sa bienveillance pour Archippè d'adresser aux dieux les remerciement dus pour tout cela ; à la bonne fortune, qu'il plaise à l'assemblée que les stratèges fassent un sacrifice aux dieux pour le salut et la santé d'Archippè. Mois de Zeus [?], sous [la prytanie d']Athénaios fils de Xénon.

# Pilier A décret V

*Décret sur le sacrifice pour Archippè*

Ce décret est identique au précédent. Il s'agit du décret de l'Assemblée qui adopte donc intégralement le décret du Conseil.

# Pilier B décret I

## Texte

— — —

λ̣.[....]ολλ[..........]οι̣γ̣ι̣νου φράτρας Α[— — — οὔσης διώ]-ξεως τοῖς πρ[ογεγραμμέν]οις κατὰ τῶν ἀδικησόντων ἢ καθεξο̣[μένων τι ἐ]-κ τῶν προγεγραμ[μένω]ν ἢ ἐναντιωθέντων τοῖς διὰ τοῦ ψηφίσμ[ατος δη]-λουμένοις· προνοηθήτωσαν δὲ οἱ ἐπιστάται περὶ τοῦ ὑπάρχει[ν τὸν βωμὸν(?)] μαρμάρινον πρὸ τοῦ ναοῦ ἐν τῷ ἀναθέματι· συνχωρηθῆναι δὲ [ὡς παρακα]-λεῖ Ἀρχίππη ὑπὸ τῶν πολιτῶν ἕνεκεν τοῦ Ἑλικῶνα τὸν ἑαυτῆς οἱ[κονόμον(?)] τὸν ὄντα πατρὸς Ἀπολλωνίου Ἀντιοχέα ἀπὸ Δάφνης γενέσθαι πο[λίτην ἡμῶν]· φροντίσαι δὲ καὶ περὶ ἑαυτῆς εἰς τὸ τῶν καθηκουσῶν ἀξιωθῆναι τ[ιμῶν· δο]-θῆναι δὲ ἑαυτῇ καὶ ἀλειτουργησίαν καθότι παρακαλεῖ προφερομένη̣ [τὴν περὶ] αὐτὴν περίστασιν· ὁ δὲ δῆμος, συνιδὼν τό τε πλῆθος τῶν δαπα̣[νημά]-των καὶ τὴν ἐξ Ἀρχίππης διὰ παντὸς εὐεργεσίαν, τήν τε ἀρετὴν αὐ̣[τῆς τε] καὶ τὴν μεγαλομέρειαν ἀποδέχεται, ἐντροπῆς μὲν καὶ ἀποδοχ[ῆς δι]-ά τε τὴν σωφροσύνην καὶ τὸ γένος ἀξιῶν, ἐπαίνου δὲ διὰ τὴν εἰς [τὴν] πατρίδα φιλοδοξίαν, τὰ μέγιστα καὶ εἰληφὼς παρ' αὐτῆς φιλάνθρω̣[πα] καὶ τῶν ἐνδοξοτάτων ἠξιωκώς τε καὶ σπεύδων τυχεῖν αὐτὴν τιμ[ῶν], προαιρούμενός τε τὴν καταξίαν τῆς ἀρετῆς αὐτῇ ἀποδοῦναι εὔνοι[αν] οἴεται δεῖν τιμῆσαι αὐτὴν καὶ εἰκόνι χρυσῇ· ἀγαθῆι τύχηι καὶ ἐπὶ σωτ̣[ηρί]-α̣, δεδόχθαι τῷ δήμῳ Ἀρχίππην μὲν τὴν Δικαιογένου ἐπηνῆσθαι ἐπί τε τῇ σ[ω]-φροσύνῃ τῇ ὑπαρχούσῃ περὶ αὐτὴν καὶ εὐταξίᾳ καὶ τῇ πρὸς τὴν πατρίδα αἱρέ-σει καὶ ἐπὶ τῷ ἀκόλουθα πράσσουσαν τῇ διὰ προγόνων ὑπαρχούσῃ αὐτῇ κα-λοκἀγαθίᾳ ἐπιδεδωκέναι αὐτὴν καὶ εἰς τὰ προδεδηλωμένα κατατιθεμέ-νην τὴν ἑαυτῆς φιλοτιμίαν εἰς τὰ κάλλιστα καὶ πρὸς ἐπιφάνειαν καὶ μνή-μην ἀθάνατον ἀνήκοντα, δι' ἃ συμβαίνει καὶ τοὺς ἰδίους αὐτῆς τιμᾶσθαι ἀξίως ἧς ἔσχηκεν Ἀρχίππη πρὸς αὐτοὺς ἐκτενείας καὶ φιλοστοργίας, ἐπι-κοσμεῖσθαι δὲ καὶ ἐπιφανεστέραν γίνεσθαι καὶ τὴν πόλιν· ἵνα δὲ καὶ τοῖς ἐπι-γινομένοις ὁ τῆς ἀρετῆς ζῆλος μὴ ἄσημος ὑπάρχῃ, γινώσκωσιν δὲ τὴν τοῦ δήμου εἰς τοὺς καλοὺς καὶ ἀγαθοὺς εὐχαριστίαν, στεφανῶσαι αὐτὴν στεφάνῳ χρυσῷ καὶ εἰκόνι χρυσῇ ἀρετῆς ἕνεκεν καὶ εὐνοίας ἧς ἔχουσα διατελεῖ εἰς τὴν πατρίδα· στῆσαι δὲ τὴν εἰκόνα τὴν χρυσῆν ἐπὶ στυλίδος μαρμαρίνης ἐν τῷ περιβόλῳ τοῦ βουλευτηρίου ᾧ ἀνατέθεικεν Ἀρχίππη{ι} ἐπι-γραφὴν ἔχουσαν· "ὁ δῆμος Ἀρχίππην τὴν Δικαιογένου ἀρετῆς ἕνεκεν καὶ εὐ-νοίας τῆς εἰς ἑαυτόν"· ὁ δὲ ἀγωνοθέτης τῶν Διονυσίων ποιησάσθω ἐν τῷ π̣ρώτῳ ἀγῶνι τῶν παίδων τοῦ τε στεφάνου καὶ τῆς εἰκόνος τὴν ἀναγγελί-αν, εἰς δὲ τὸ λοιπὸν ἀεὶ ὑπὸ τοῦ ἐσομένου ἀγωνοθέτου στεφανοῦσθαί τε Ἀρχίππην τῷ χρυσῷ στεφάνῳ καὶ καλεῖσθαι αὐτὴν εἰς προεδρίαν ἐν πᾶσιν τοῖς ἀγῶσιν οἷς ἡ πόλις συντελεῖ· ὁμοίως δὲ καὶ οἱ ἀγωνοθέται τῶν μεγάλω̣ν Σωτηρίων καὶ Ῥωμαίων τήν τε εἰσκήρυξιν καὶ τὴν στεφάνωσιν ποιείσθωσ[αν], ἐπὰν ἐπιτελῶσιν τὰς θυσίας ἐν τῷ θεάτρῳ τῇ τρεισκαιδεκάτηι· ἵνα δὲ συν̣-τελεσθῶσιν ἥ τε εἰκὼν ἡ χρυσῆ καὶ ἡ στυλίς, παρακαλέσαι Ἀρχίππην τὴν Δι-καιογένου ἀναδέξασθαι καὶ ταύτην τὴν δαπάνην, καθότι καὶ ἐν τούτοι[ς] φιλαγαθοῦσα συνεπιδέδωκεν· τὰ δὲ κατὰ τὴν ἐπαγγελίαν τοῦ ἀναθέμα̣-τος καὶ τὰ κατὰ τὰς συνχωρήσεις αὐτῃ καὶ τὰ λοιπὰ τὰ προγεγραμμένα πά[ν]-τα ἐπιτελεῖσθαι, γινομένης τῆς περὶ ἑκάστων οἰκονομίας καὶ διοικήσεως κ[α]-θότι ἐν τῷ ψηφίσματι προδιασεσάφηται· δεδόσθαι δὲ ὑπὸ τοῦ δήμου Ἀρ-χίππῃ καὶ τὴν ἀλειτουργησίαν καί, ἐπὰν δὲ τελευτήσῃ Ἀρχίππη, στεφα-νωσάτωσαν αὐτὴν ἐπὶ τῆς ἐκφορᾶς οἱ κατὰ τὸν καιρὸν ὄντες στρατηγοὶ στε-φάνῳ χρυσῷ ἀναγορεύοντες ὅτι "ὁ δῆμος στεφανοῖ Ἀρχίππην τὴν Δικαιογέ-νου στεφάνῳ χρυσῷ ἀρετῆς ἕνεκεν καὶ εὐνοίας τῆς εἰς ἑαυτόν"· τὸ δὲ εἰς τὸν στέφανον ἀνήλωμα δότωσαν οἱ στρατηγοὶ παρὰ τῆς πόλεως· δεδόσθαι δὲ Ἀρ-χίππῃ καὶ ταφὴν οὗ καὶ οἱ λοιποὶ οἱ τῆς πόλεως εἰσιν εὐεργέται τεθαμμένοι·

συνε ξενεγκάτω δὲ Ἀρχίππην καὶ ὁ γυμνασίαρχος μετὰ τῶν ἐφήβων· τοὺς δὲ χιλ[ί]ους στατῆρας τοῦ χαλκοῦ διαγράψαι Ἀρχίππην ἐν τῷ μηνὶ τῷ Τερφείῳ μετὰ πρύτανιν Ἀθήναιον τοῖς ἐσομένοις ἐπὶ τῆς ἀποδόσεως τῶν δανείων ἀνδράσιν· τοὺς δὲ διαγραψαμένους καταχρῆσθαι καὶ τούτοις τοῖς διαφόροις μετὰ τῶν λοιπῶν τῶν πι̣π̣τόντων πρὸς αὐτοὺς χρημάτων· τὸν δὲ ταμίαν τὸν ἐπὶ τῆς διοικήσεως τὸν ἐσόμεν̣ον ἀν ἕκαστον ἐνιαυτόν, ἐπὰν ἀποδοθῶσιν ὑπὸ Ἀρχίππης οἱ χίλιοι στατῆρες, διαγράφειν ἐπάναγκες ἔν τε τῷ μηνὶ τῷ Θαξίῳ τοῖς στρατηγοῖς χαλκοῦ στατῆρας δέκα καὶ τῇ βουλῇ, πανδήμῳ χαλκοῦ στατῆρας τεσσαράκοντα καὶ ἐν τῷ μηνὶ δὲ τῷ Τερφείῳ διαγράφειν τοῖς αὐτοῖς τὸ ἴσον πλῆθος τοῦ διαφόρου· τοὺς δὲ διαγραψαμένους τὰ διάφορα ἐπιτελεῖν τὰς θυσίας ἐν τῷ βουλευτηρίῳ ἐπὶ τοῦ κατεσκευ̣ασμένου βωμοῦ ἐν ἑκατέρῳ μηνὶ τῇ δωδεκάτηι καὶ πέμπειν ἀπὸ τῆς θυσίας Ἀρχίππῃ̣ γέρας ἕως τοῦ ζῆν αὐτήν· τοὺς δὲ ἄνδρας τοὺς ἀποδεικνυμένους ἐπὶ τῆς ἀποδόσεως τῶν πολιτικῶν δανείων ἀν’ ἕκαστον ἐνιαυτὸν τούτου̣ πλεῖον διαγράφειν τοῖς διαφόροις τῷ ταμίᾳ̣ τῷ ἐπὶ τῆς διοικ̣ήσεως εἰς τὰ κατὰ τὴν διοίκησιν τῆς πόλεως· ἐὰν δὲ μὴ ἀποδεικνύωνται μηκέτι οἱ ἄνδρες, οἱ̣ χειρισταὶ οἱ γινόμενοι κατ’ ἐνιαυτὸν ἕκαστα ἐπιτελείτωσαν καθότι καὶ τοῖς ἀνδράσιν ἐπιτέτακται διὰ τούτου τοῦ ψηφίσματος ἢ ὃς ἂν κατὰ τὸν καιρὸν ἔχ[ῃ] τὴν ἐξουσίαν· καὶ ἐπὰν δὲ δίδωται τὸ τάλαντον ὑπὸ τοῦ Ἀρχίππης κληρονόμου ἐξ οὗ διατέτακται τοκιζομένου τόν τε καταγορασμὸν τῶν σωμάτων γενέσθαι καὶ τὰ κατὰ τὴν ἐπισκευὴν τοῦ βουλευτηρίου ἐπιτελεῖσθαι, ὁ δῆμος διὰ τῶν ἐσομένων κατὰ τὸν καιρὸν στρατηγῶν καὶ συνέδρων γράψας ψήφισμα κυρωσάτω περί τε τῆς τῶν διαφόρων λήψεως καὶ τοῦ ἐκτοκισμοὺ αὐτῶν καὶ περὶ ἐπιστάτου τοῦ ἐσομένου κατ’ ἐνιαυτὸν ἐπὶ τε τῆς ἐπισκευῆς τοῦ βουλευτηρίου καὶ τοῦ καταγορασμοῦ τῶν σωμάτων καὶ τῆς τροφῆς αὐτῶν καὶ ἀμφιεσμοῦ καὶ ὀψωνίου· καὶ ἵνα ἐάν τι τῶν καταγορασθησομένων σωμάτων πάθ[ῃ, ὁ] κατὰ τὸν καιρὸν ἐσόμενος ἐπιστάτης ἀγοράσῃ ἄλλο σῶμα, ὥ[σ]τε μὴ ἐλάσσονα ὑπάρχειν διὰ παντὸς τῶν τεσσάρων· ἐπικληρωσάτω δὲ καὶ ὁ ἐσόμενος ἔμμηνο̣[ς] στρατηγὸς Ἑλικῶνα τὸν Ἀπολλωνίου ἐπὶ τε φυ[λὴ]ν καὶ φράτραν καὶ καθ’ ἃ ἀνα[δι]δότω γραφὴν τῷ γραμματεῖ τῶν νομοφυλάκων καὶ εἰς τὸ ἀντιγραφῖον καὶ μ[ε]τεχέτω πάντων ὧν καὶ οἱ ἄλλοι πολῖται· μηδενὶ δὲ ἐξέστω ξύλα κάειν μή[τε] ἐν τῷ ναῷ μήτε ἐν τῷ προνάῳ μηδὲ ἐν ταῖς στοαῖς ταῖς ἀνατιθεμέναις ὑπὸ Ἀρχίππης μηδὲ πίνακας μηδὲ ἄλλο ἀνάθεμα μηθὲν ἔστω ἐκ τῶν δοκῶν κριμνά[σαι]· εἰ δὲ μή, κωλυέτωσαν τὸν τούτων τι ποιοῦντα ο[ἱ ἱ]ερονόμοι καὶ οἱ ἀγορανόμοι, [ᾧ] ἂν δύνωνται τρόπῳ, καὶ ζημιούτ̣ωσαν ἕως στα̣[τ]ήρων πέντε, ὄντες ἀνυπόδικ[οι], καὶ πραξάτωσαν τὴν ζημίαν ᾧ ἂν δύνωντα̣ι [τρ]ό̣π̣ῳ καὶ τὰ διάφορα ταῦτα ὑπάρχειν εἰς τὴν ἐπισκευὴν τοῦ ἱεροῦ· ἐὰν δὲ μὴ δύνωνται πρᾶξαι, ἀναγραψάτωσαν, καὶ μηθὲν ἧσσον ὁ βουλόμενος τὸν τούτ̣ων τ̣[ι] ποιοῦντα κωλυέτω ἀζήμιο[ς]· ἐὰν δέ τις τῶν ἐν τῷ ψη[φί]σματι τούτῳ κατακεχω̣ρισμένων τι μὴ ποιήσῃ ἢ βλάψῃ τὴν πόλιν ἢ ἀδικήσῃ ᾡτινιοῦν τ̣ρόπῳ, εἶναι κατὰ τοῦ ἐναντίο̣ν̣ τι ποιήσαντος ἔ[ν]δειξιν κατὰ τὰ περὶ τῶν κατεχόντων τι ἢ ἀδικούντων τὸν δῆμον ἔγγραφα· τὰ δὲ κατὰ τὸ ἀνάθεμα καὶ τὴν τοῦ ταλάντου ἐπαγγελίαν καὶ τὰ λοιπὰ τὰ διὰ τοῦ ψηφ[ίσ]ματος δηλούμενα ἐπιτελεῖσθαι κυρίων γενομένων Ἀρχίππη καὶ ὁ δῆμος διὰ τ[οῦ] ψηφίσματος προείρηται· εἶναι δὲ τὸ ψήφισμα τοῦτο ἐπὶ σωτη̣[ρί]α̣ τῆς τε π̣[όλ]εως καὶ τῶν πολιτῶν· προέθηκαν οἱ στρατηγοὶ πάντες· ἐπὶ Ἀθ[ην]αίου, μην[ὸς] Τερφείου πέμ[πτη]ι ἀπιόντος.

## Traduction (SAVALLI-LESTRADE 2003, p. 282-292)

[… Que les magistrats ?] ci-dessus mentionnés s'acquittent du devoir d'intenter une action judiciaire contre ceux qui endommagent ou occupent un des lieux indiqués plus haut ou qui s'opposent aux décisions du décret ; que les surintendants (*epistatai*) veillent à ce que soit place un [autel ?] de marbre devant le temple dans la zone consacrée (*anathêma*) ; que les citoyens accordent, comme le demande Archippè, que Hélicon, son [parent ou intendant], fils d'Apollonios, citoyen d'Antioche près de Daphné, devienne notre concitoyen ; que l'on se soucie également d'accorder à Archippè les honneurs qui lui sont dus ; qu'on lui accorde également l'exemption des liturgies, ainsi qu'elle l'a demandé en faisant valoir la situation difficile dans laquelle elle se trouve. Le peuple, vu la multitude des frais assumés par Archippè et son évergésie perpétuelle reconnaît sa valeur et sa munificence, la jugeant digne de respect et d'approbation pour sa vertu et la noblesse de sa naissance, de louanges pour l'amour de la gloire manifesté envers sa patrie ; vu qu'il a reçu de sa part les plus grandes preuves de générosité et l'a donc jugée digne des honneurs les plus glorieux et a souhaité qu'elle les obtienne, a décidé de lui manifester une bienveillance digne de sa valeur et considère qu'il doit également honorer Archippè d'une statue de bronze dorée.

À la bonne fortune et pour le salut de la cité ; qu'il plaise à l'Assemblée de louer Archippè, fille de Dicéogène pour sa vertu, sa bienséance, son attitude envers la patrie, son dévouement conforme à la noblesse d'âme des ancêtres et pour avoir illustré ces valeurs avec zèle en vue du beau, de la renommée et de la gloire impérissable, et que ses familiers soient honorés de manière digne de l'attention et de l'affection qu'Archippè leur a manifestées et que la cité soit embellie et rendue plus illustre. Afin que le zèle de sa valeur ne demeure pas inconnu de la postérité et que celle-ci sache la reconnaissance du peuple envers les hommes de bien, qu'on honore Archippè d'une couronne en or et d'une statue de bronze dorée pour la valeur et le dévouement qu'elle a montrés envers la patrie ; que l'on place la statue de bronze dorée sur une colonne de marbre dans l'enceinte du *bouleutêrion* érigé par Archippé et qu'on y grave l'inscription suivante : « Le peuple honore Archippè, fille de Dicéogène, pour la valeur et le dévouement qu'elle lui a témoignés. » Que l'agonothète fasse la proclamation de la couronne et de la statue à l'occasion du premier concours d'enfants (*paides*) et qu'à l'avenir chaque agonothète en charge ceigne Archippè d'une couronne d'or et l'invite à prendre une place d'honneur dans tous les concours célébrés par la cité ; que les agonothètes des grands *Sôtêria* et *Rômaia* procèdent également à la proclamation et au couronnement après la célébration des sacrifices au théâtre, le 13e jour ; pour ce qui est de la réalisation de la statue de bronze dorée et de la colonne, qu'elle invite Archippè à assumer également ces frais, avec la bonté dont elle fait déjà preuve dans de semblables affaires ; pour ce qui est de la promesse des consécrations (*anathêma*) et des concessions faites à Archippè et tout ce qui est indiqué ci-dessus, qu'elle procède suivant les dispositions administratives particulières exposées dans le décret ; que le peuple accorde en outre à Archippè l'exemption des liturgies et, après sa mort, que les stratèges en charge la ceignent d'une couronne d'or au cours des funérailles et fassent la proclamation suivante : « Le peuple couronne Archippè, fille de Dicéogène, d'une couronne d'or pour la valeur et le dévouement dont elle a fait preuve envers lui » ; que le coût de la couronne soit payé par les stratèges sur fonds publics ; que soit en outre accordée à Archippè un lieu de sépulture à l'endroit où gisent déjà les autres évergètes de la cité ; que le cercueil d'Archippè soit porté par le gymnasiarque et des éphèbes. Qu'Archippè verse les 1 000 statères de bronze au mois de Terpheios, après la prytanie d'Athénaios, aux préposés au paiement des dettes [publiques] ; qu'après avoir encaissé la somme, ils l'emploient avec les autres fonds qui entrent dans leur caisse : que le trésorier annuellement élu de l'administration financière, quand Archippè aura versé les 1 000 statères, paie obligatoirement au mois de Thaxio 10 statères de bronze aux stratèges et 40 statères de bronze à la Boulê Pandêmos, et qu'il leur verse aussi la même somme au mois de Terpheios ; qu'après avoir encaissé l'argent, ceux-ci accomplissent les sacrifices au *bouleutêrion*, sur l'autel qui y a été construit, le 12 de ces deux mois et envoient à Archippè une portion d'honneur (*geras*) de la victime sacrifiée pour le restant de ses jours ; que les préposés au paiement des dettes publiques versent chaque année au comptant de la somme en excédent [?] au trésorier de l'administration financière, sur le compte de l'administration financière de la cité ; au cas où l'on désignerait plus de tels préposés, que les administrateurs (*cheiristai*) élus chaque année ou quiconque sera investi à l'avenir de leur compétence exécutent toutes les opérations suivant ce qui a été prescrit aux préposés par le présent décret.

Après que l'héritier d'Archippè aura versé le talent, dont les intérêts, une fois donnés en prêt, seront utilisés pour acquérir des esclaves et pour l'entretien du *bouleutêrion*, l'Assemblée validera le décret proposée par les stratèges et les membres de l'assemblée qui seront en charge du legs et du prêt à intérêt , de la nomination annuelle d'un surintendant (*epistatês*), de l'entretien du *bouleutêrion* et de l'acquisition d'esclaves, de leur nourriture, de leur habillement et de leur salaire ; une clause prévoira également qui si un des esclaves achetés tombe malade, le surintendant en fonction en acquerra un autre, en sorte qu'il y en ait toujours au moins quatre en service. Que le prochain stratège mensuel, par tirage au sort, attribue Hélicon, fils d'Apollonios, à une tribu et à une phratrie, et que celui-ci, conformément au document transmis par le stratège au secrétaire des gardiens des lois (*nomophulakes*) et aux archives, participe à tous les droits et devoirs des autres citoyens. Qu'il ne soit permis à personne de brûler du bois au temple, dans le pronaos ou dans les portiques consacrés par Archippè et d'accrocher aux poutres des tablettes ou d'autres offrandes ; dans les cas contraire, que les *hieronomoi* et les *agoranomoi* empêchent par tous les moyens de commettre de telles infractions et infligent une amendes d'une valeur maximale de cinq statères, sans être passibles de procès ; qu'ils encaissent l'amende par les moyens qui sont à leur disposition, et que l'argent encaissé serve à l'entretien du sanctuaire, qu'ils verbalisent l'infraction et que, néanmoins, quiconque le souhaite puisse s'opposer à une infraction, sans encourir lui-même une amende.

Si quelqu'un n'exécute pas une des dispositions du décret et porte préjudice à la cité ou lui fait du tort de quelque façon, pourra être engagée une procédure d'accusation contre tout contrevenant sur la base des lois prévues pour les délits d'usurpation et d'injustice aux dépens du peuple. Pour ce qui est des dispositions relatives à la consécration, à la promesse de versement d'un talent et de toutes les autres dispositions exposées dans le décret, qu'Archippè et le peuple les exécutent, sitôt devenues légales, comme prescrit par le décret. Que le présent décret soit adopté pour le salut de la cité des citoyens. Les stratèges au complet ont présenté [la proposition au Conseil à l'Assemblée] sous [la prytanie] d'Athénaios, au cinquième jour avant la fin de Terpheios.

# Pilier B décret II

**Texte**

ἔδοξεν τῇ βουλῇ· γνώμη στρατηγῶν καὶ φ[υλάρ]χων καὶ τῶν συνέδρων· ἐπειδὴ Ἀρχίππη ἡ Δι̣κ̣[αι]ογένου προαιρεῖται τῆς ὀροφῆς τοῦ βουλευτηρίου τήν τε ὑπωρυφίαν μετακατασκευάσαι καὶ τὴν κεράμωσιν μεταθεῖναι, ἃ καὶ πρὸς τὴν ἀσφάλειαν καὶ πρὸς τὴν εὐχρηστίαν εὐθετώτερα νενόμικεν ὑπάρχειν, περὶ τούτων τε καὶ τῷ πλήθει τῶν πολιτῶν ἐμπεφανικέναι διὰ τῶν προεστώτων καὶ συγκρίσεις ἀρχιτεκτόνων γέγοναν μεθ' ὑποδειγμάτων τῆς ζητήσεως ἐπιτελουμένης, μείζονός τε δαπάνης ὑπαρχούσης ἀναδέδεκται καὶ ταύτην τοῦ τῆς πατρίδος συμφέροντος στοχαζομένη, ἐπιτελεῖν τε τὰ κατὰ τὴν κατασκευὴν ἑτοίμως ἔχουσα συγχωρηθῆναι παρακαλεῖ ἑαυτῆι εἰς τὸ παραδοθῆνοι τὸν τόπον· δεδόχθαι τῷ δήμῳ Ἀρχίππην μὲν ἐπηνῆσθαι ἐπί τε τῇ καλοκάγαθίᾳ καὶ ᾗ διὰ παντὸς εἰσφέρεται σπουδῇ εἰς τὰ τῆς πατρίδος συμφέροντα τῆς τῶν προγόνων δόξης ἄξια πράσσουσα καὶ στοιχοῦσα τῇ κατὰ τὴν ἀρετὴν μεγαλομερείᾳ· δσθῆναι δὲ αὐτῇ, πρὸς τὴν προδεδηλωμένην ἐπισκευὴν τὸν τόπον ἕνεκεν τοῦ ἔχειν αὐτὴν ἐξουσίαν ἕκαστα ἐπιτελεῖν κατὰ τὴν ἰδίαν πίστιν καὶ προαίρεσιν· ἔστω δὲ ἐξουσία αὐτῆι καὶ περὶ τῶν ἀγομένων λίθων καὶ ξύλων καὶ τῶν λοιπῶν τῶν πρὸς τὴν χρείαν τιθέναι εἰς τοὺς δημοσίους τόπους ὑπὸ μηθενὸς κωλυομένην· συγκεχωρῆσθαι δὲ Ἀρχίππηι καὶ ἐάν τινα προαίρηται τῶν γεγονότων αὐτῇ ψηφισμάτων ἐγχαράξαι εἰς τὰ μαρμάρινα τοῦ βουλευτηρίου· εἶναι δὲ τὸ ψήφισμα τοῦτο κύριον ἐπὶ τῷ τῆς πόλεως συμφέροντι· ἐδόθη ἐπὶ Σωπάτρου, μηνὸς Μαιμακτῆρος.

**Traduction (SAVALLI-LESTRADE 2003, p. 282-292)**

Il a paru bon au conseil, sur proposition des stratèges, des phylarques et aux membres de l'assemblée. Puisque Archippè, fille de Dicéogène, a solennellement promis au peuple de lui donner, parmi les terrains qu'elle possède dans la localité d'Achaios, le champ dit « de Chemion et de Scuteinos » et le champ dit « d'Arisodémos », dont elle cède la propriété au peuple après sa mort, en vue de la construction des monuments votifs sur l'agora, c'est-à-dire un temple d'Homonoia, un autel, des portiques et des boutiques ; puisque, persévérant dans son amour de la gloire, elle entend terminer les monuments et cède [tout de suite] au peuple un des champs promis, celui dit « de Chemion et de Scuteinos » dont le fruit de la vente permettra de réaliser la première partie des travaux relatifs aux monuments votifs, qu'il plaise à l'Assemblée de louer Archippè, fille de Dicéogène, pour son comportement vertueux et le zèle manifesté envers la patrie.

Une fois voté le présent décret, que le peuple procède à la désignation de deux personnes qui ne souffrent d'aucun empêchement et qui aient reçu l'aval d'Archippè ; ceux-ci exécuteront les dispositions relatives aux monuments votifs, suivant le décret précédemment voté ; ils vendront le champ dit « de Chemion et de Scuteinos », à l'exclusion de la récolte des céréales et de raisins de cette année ; l'acquérant versera un tiers du prix dans les 60 jours, versant chaque année l'intérêt équivalent à dix pour cent de la fraction du paiement effectué, à compter de l'année où la vente est intervenue ; les deux personnes [désignées par le peuple et par Archippè] assumeront aussi les fonctions de surintendants (epistatai) tant pour la construction de monuments votifs jusqu'à leur achèvement que pour la vente du second champ après la mort d'Archippè et administreront chaque chose avec tous ceux auxquels le précédent décret a confié le soin de réaliser les monuments votifs. Les stratèges ont présenté [la proposition du Conseil à l'Assemblée]. Sous [la prytanie de] Sopratos ont été désignés Zoilos, fils d'Hermagoras fils de Zoilos, de la phratrie Aristarchis, adopté par Alexandros, fils de Zoilos, de la phratrie Aristarchis, et Hélicon, fils d'Apollonios.

# Pilier B décret III

**Texte** | **Traduction** (**SAVALLI-LESTRADE 2003, p. 282-292**)

ἔδοξεν τῇ βουλῇ· γνώμη στρατηγῶν καὶ φυλάρχων καὶ τῶν συνέδρων· ἐπειδὴ Ἀρχίππη ἡ Δικαιογένου ἐπηγγείλατο τῷ δήμῳ δώσειν ἀπὸ τῶν ἀγρῶν τῶν ὑπαρχόντων αὐτῇ ἐγ χώρῳ Ἀχαίῳ τόν τε καλούμενον Χημίωνος καὶ Σκυθείνου καὶ τὸν καλούμενον Ἀριστοδήμου, ὧν καὶ τὴν κυριείαν παρεχώρει τῷ δήμῳ μετὰ τὴν ἑαυτῆς μεταλλαγὴν ἕνεκεν τοῦ κατασκευασθῆναι ἀναθέματα ἐν τῇ ἀγορᾶι ναόν τ[ε] Ὁμονοίας καὶ βωμὸν καὶ στοὰς καὶ ἐργαστήρια, στοιχοῦσα δὲ τῇ ὑπαρχούσῃ περὶ ἑαυτὴν φιλοδοξίᾳ βούλεται ἐπιτελεῖσθαι τὰ ἀναθέματα καὶ παραδιδοῖ τῷ δήμῳ ἀπὸ τῶν ἀγρῶν τῶν ἐπηγγελμένων τὸν καλούμενον Χημίωνος καὶ Σκυθίνου, ὥστε πραθέντος αὐτοῦ ἐπιτελεῖσθαι τὰ πρῶτα τῶν ἔργων τῶν κατὰ τὰ ἀναθέματα· δεδόχθαι Ἀρχίππην μὲν τὴν Δικαιογένου ἐπῃνῆσθαι ἐπὶ τῇ κατὰ τὸν βίον σωφροσύνῃ καὶ ἐπὶ τῇ σπουδῇ τῇ ὑπὲρ τῆς πατρίδος· κυρωθέντος δὲ τοῦ ψηφίσματος τούτου ἀποδειξάτω ὁ δῆμος ἄνδρας δύο κατὰ μηδὲν ἐπικωλυομένους οὓς ἂν καὶ Ἀρχίππη συνκρείνῃ, οἱ δὲ ἀποδειχθέντες τά τε λοιπὰ ἐπιτελέσουσιν τὰ περὶ τῶν ἀναθημάτων κατὰ τὸ προκεκυρωμένον ψήφισμα· πωλήσουσιν δὲ καὶ τὸν ἀγρὸν τὸν Χημίωνος καὶ Σκυθίνου πλὴν τῶν σπερμάτων καὶ τῆς σταφυλικῆς προσόδου τῶν καθ’ ἔτος, ἐφ’ ᾧ ὁ ἀγοράσας δώσει τὸ τρίτον μέρος τῆς τιμῆς ἐν ἡμέραις ἑξήκοντα, τὴν δὲ λοιπὴν τιμὴν ἀποδώσει ἐν ἔτεσιν τέσσαρσιν ἀποδιδοὺς κατ’ ἐνιαυτὸν τὸ πρὸς μέρος καὶ τοῦ καταβαλλομένου τόκον δέκατον τοῦ χρόνου τοῦ τῆς πράσεως· ἔσονται δὲ οἱ αὐτοὶ ἄνδρες καὶ ἐπιστάται ἐπὶ τῆς τῶν ἀναθημάτων κατασκευῆς ἕως τῆς συντελείας αὐτῶν, καὶ ἐπὶ τῆς πράσεως δὲ τοῦ ὑπολειπομένου ἀγροῦ· ἐπὰν μεταλλάξῃ Ἀρχίππη, καὶ τὰ λοιπὰ διοικήσουσιν ἅπαντα οὗτοί τε καὶ οἱ λοιποὶ πάντες ο[ἷς] τ[ε] προστέτακται περὶ τῆς τῶν ἀναθημάτων συντελείας κατὰ τὸ προκεκυρωμένον περὶ τούτων ψήφισμα· προέθηκαν οἱ στρατηγοί· ἐπὶ Σωπάτρου ἀπ̣εδείχθησαν Ζωΐλος ὁ φύσει Ἑρμαγόρου τοῦ Ζωΐλου φράτρας Ἀρισταρχίδος, π̣[επ]αιδοπ̣οημ̣έ̣νος δὲ ὑπὸ Ἀλεξάνδρου τοῦ Ζωΐλου [φράτρα]ς Ἀρισ̣τ̣α̣ρχίδο̣ς, Ἑλικὼν Ἀπολλωνίου.

Il a paru bon au conseil, sur proposition des stratèges, des phylarques et aux membres de l’assemblée. Vu qu’Archippè, fille de Dicéogène, a l’intention de réaménager le toit du *bouleutêrion* et d’en remplacer les tuiles – considérant que ces modifications favoriseront la sécurité et la bonne utilisation des lieux – et en réfère à l’ensemble des citoyens par l’intermédiaire des dirigeants et puisque ont été effectuées des études comparées d’architectes avec l’aide de modèles et que, au terme de l’enquête, nonobstant le coût assez considérable, Archippé a accepté aussi ces frais, visant au bien de la patrie ; vu que, étant prête à mener à terme tous les travaux de restauration, elle demande la concession du terrain [du chantier], qu’il plaise à l’Assemblée : qu’Archippè soit louée pour sa grandeur d’âme et pour le zèle dont elle fait preuve continuellement pour le bien de la patrie, agissant d’une manière digne de la gloire des ancêtres et en conformité avec sa munificence ; que lui soit concédé le terrain [du chantier] susnommé et que lui soit donnée la faculté d’administrer chaque chose suivant sa bonne foi et son jugement ; que lui soit également donnée la faculté de transporter et de déposer dans les lieux publics les pierres, le bois et tous les autres matériaux nécessaires sans que personne ne puisse l’en empêcher ; que soit aussi accordée à Archippè de faire graver sur les revêtements de marbre du *bouleutêrion* n’importe lequel des décrets déjà promulgués en son honneur. Que le présent décret soit adopté pour le bien de la cité. Voté sous [la prytanie de] Sopratos, au mois de Maimaktêr.

## 5. Philè de Priène (milieu du Ier siècle av. J.-C.)

**Référence** : McC. Priene 147.

### Texte

[Φίλ]η Ἀ̣πολλωνίου,
[γυ]νὴ δὲ Θεσσαλοῦ
[τ]οῦ Πολυδεύκου,
[στ]εφανηφορήσα[σα]
[πρ]ώτη γυναικῶν ἀν[έ]-
θηκε παρ’ ἑαυτῆς τ[ὸ]
ἐγδόχιον τοῦ [ὕ]δ̣α̣τ[ος]
καὶ τὰ ἐν τῆι πόλε[ι]
ὑδραγώγια.

### Traduction (Bielman 2002, p. 97, nº18)

[Phi]lé fille d’Apollonios, épouse de Thessalos fils de Polydeukos, qui fut la première femme à exercer la stéphanéphorie, a consacré à ses frais le réservoir et les canalisations d’eau à travers la cité.

# Îles et Cyclades

## 6. Épictéta de Théra (2e moitié du IIIe siècle av. J.-C.)

**Référence** : *IG* XII, 3, 330.

### Texte (testament)

[Φοῖνιξ {[2]τοῦ δεῖνος}[2](?)]

Ἀνδραγόρας Φοίνικος. Ἐπικτήτα Γρ[ί]ννου. Κρατησίλοχος Φοίνικος.

**COL 1**

ἐπὶ ἐφόρων τῶν σὺν Φοιβοτέλει τάδε διέθετο νοοῦσα καὶ φρονοῦσα Ἐπικτήτα Γρίννου μετὰ κυρίου Ὑπερείδους τοῦ Θρασυλέοντος συνευαρεστούσας καὶ τᾶς θυγατρὸς [Ε]πιτελείας τᾶς Φοίνικος· εἴη μέν μοι ὑγιαινούσαι καὶ σωιζομέναι τὰ ἴδια διοικέν· εἰ δέ τί κα γένηται περί με τῶν ἀνθρωπίνων, ἀπολείπω κατὰ τὰν γεγενημέναν μοι ὑπὸ τοῦ ἀνδρὸς Φοίνικος ἐντολὰν τοῦ καὶ κατασκευαξαμένου τὸ Μουσεῖον ὑπὲρ τοῦ μεταλλαχότος ἁμῶν υἱοῦ Κρατησιλόχου καὶ ἀγαγόντος τὰ ζῶια καὶ τὸς ἀνδριάντας ἑαυτοῦ τε καὶ Κρατησιλόχου καὶ τὰ ἡρῶια καὶ ἐνευξαμένου ὥστε κατασκευάξαι με τὸ Μουσεῖον καὶ θέμεν τάς τε Μούσας καὶ τὸς ἀνδριάντας καὶ τὰ ἡρῶια· μετὰ δὲ δύο ἔτη τοῦ ἀπολελειμμένου ἔτι μου υἱοῦ Ἀνδραγόρα μεταλλάσσοντος τὸν βίον καὶ ἐντειλαμένου ἐπιτελῆ με ποιῆσαι τὰν τοῦ πατρὸς αὐτοῦ Φοίνικος ἐντολὰν καὶ θέμεν καὶ ὑπὲρ αὐτοῦ ὡς καὶ ὑπὲρ τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ τόν τε ἀνδριάντα καὶ τὸ ἡρῶιον, καὶ συναγαγὲν κοινὸν ἀνδρείου τῶν συγγενῶν καὶ δόμεν τῶι κοινῶι τοῦ ἀνδρείου δραχμὰς τρισχιλίας πόθοδον ἀφ’ οὗ συναχθησοῦντι, ἐπιτετελεκεῖα οὖν καὶ ἑστακεῖα πάντα κατὰ τὰς ἐκείνων ἐντολάς, καὶ τὸ κοινεῖ{ν}ον {[26]κοινεῖον}[26] συναγαγοχεῖα τῶν συγγενῶν, ὧν καὶ τὰ ὀνόματα ὑπογέγραπται, ὥστε συνάγεσθαι τὸ κοινὸν ἐν τῶι Μουσείωι, δίδωμι δραχμὰς τρισχιλίας τῶι προδεδηλωμένωι κοινῶι τοῦ ἀνδρείου τῶν συγγενῶν, ὥστε ὀφείλεσθαι αὐτὰς ἐπὶ τοῖς ὑπάρχουσί μοι αὐτοκτήτοις χωρίοις τοῖς

### Traduction (Dareste *et al.*, 1898, vol. II, p. 77-87, nºXXIV)

Andragoras fils de Phoenix, Épictéta fille de Grinnos, Cratésilochos fils de Pheonix,…

§ 1. – Sous les éphores qui sont en fonctions avec Phoebolétès, Épictéta fille de Grinnos, saine d’esprit et de bon jugement, a disposé comme suit, avec l’assistance de son kyrios Hypéride fils de Thrasyléon, et aussi avec l’assentiment de sa fille Épitéléia fille de Phoenix.

§ 2. – Puissé-je continuer d’administrer mes biens étant en force et en santé ! Toutefois s’il m’arrivait un des accidents qui tiennent à la condition humaine, je dispose comme il suit, conformément à la recommandation qui m’a été faire par mon mari Phoenix, qui a fait construire le musée en l’honneur de notre fils défunt Cratésilochos, qui a fait porter dans ce musée les portraits et les statues de lui-même et de Cratésilochos, avec les monuments funéraires, et qui m’a priée d’achever le musée et d’y placer les muses, les statues et les monuments. Deux ans après, le fils qui me restait, Andragoras, est décédé et m’a recommandé d’exécuter complètement la recommandation de son père Phoenix, d’ériger en son honneur une statue et un monument, comme il a été fait en l’honneur de son père et de son frère, de fonder une communauté des hommes du parentage et de donner à cette communauté d’hommes une somme de 3 000 drachmes, dont le revenu servira aux frais de ses assemblées. En conséquence, ayant achevé et installé toutes choses suivant les recommandations [de ces défunts], et ayant fondé la communauté des parents dont les noms sont écrits ci-dessous, laquelle communauté s’assemblera dans le musée, je donne 3 000 drachmes à ladite communauté des hommes du parentage. Cette somme sera due sur les terres que je possède, comme les ayant personnellement acquises, à Mélènes ; elle sera due [par ma fille], par ses héritiers [et par tout successeur à titre quelconque ?].

**COL 2.**

ἐμ Μελαιναῖ[ς — — — — — — — — — — — — — κλα]-
ρονόμων κα[ὶ — — — — — — — — — — — — — — —]-
χου· ἀπολείπω δὲ τὸ Μουσεῖον [καὶ τὸ τέμενος]
τῶν ἡρώιων τᾶι θυγατρί μου Ἐ[πιτελείαι, ὥσ]-
τε παραλαβοῦσαν αὐτὰν καὶ τὰ[ν πόθοδον τῶν]
ἄλλων μοι ὑπαρχόντων τελὲν κα[θ’ ἕκασ]-
τον ἔτος ἐμ μηνὶ Ἐλευσυνίωι δραχμὰ[ς δια]-
κοσίας δέκα τῶι κοινῶι τοῦ ἀνδρείου [οὗ συν]-
αγάγοχα τῶν συγγενῶν. μὴ ἐχέτω [δὲ ἐξου]-
σίαν μηθεὶς μήτε ἀποδόσθαι τὸ Μουσεῖον [μή]-
τε τὸ τέμενος τῶν ἡρώιων μηδὲ τῶν ἀγαλ-
μάτων τῶν ἐν τῶι Μουσείωι μηδὲ τῶν ἐν
τῶι τεμένει τῶν ἡρώιων μηθὲν μήτε κατα-
θέμεν μήτε διαλλάξασθαι μήτε ἐξαλλο-
τριῶσαι τρόπωι μηθενὶ μηδὲ παρευρέσει
μηδεμιᾶι μηδὲ ἐνοικοδομῆσαι ἐν τῶι τε-
μένει μηθέν, εἴ κα μή τις στοὰν οἰκοδομῆσαι
προαιρεῖται, μηδὲ χρῆσαι τὸ Μουσεῖον μηθενί,
εἴ κα μή τις τῶν ἐξ Ἐπιτελείας γάμον ποιῇ·
εἰ δὲ μή, κωλυέσθω ὑπὸ τοῦ κοινοῦ καὶ κύρι-
ον ἔστω τὸ κοινὸν κωλῦον τὸν τούτων τι ποι-
οῦντα. μή ἐχέτω δὲ ἐξουσίαν μηδὲ ἐξενέγ-
και τῶν ἐν τῶι Μουσείωι ὄντων μηθέν· εἰ δὲ μή,
κωλυέσθω ὑπὸ τοῦ κοινοῦ τῶν συγγενῶν
καὶ κύριον ἔστω κωλῦον. τὰν δὲ ἱερατείαν τᾶν
Μουσᾶν καὶ τῶν ἡρώιων ἐχέτω ὁ τᾶς θυγα-
τρός μου υἱὸς Ἀνδραγόρας· εἰ δέ τί κα πάθῃ οὗ-
τος, ἀεὶ ὁ πρεσβύτατος ἐκ τοῦ γένους τοῦ Ἐπι-
τελείας. ὁ δὲ ἀνδρεῖος τῶν συγγενῶν συν-
αγέσθω ἐν τῶι Μουσείωι καθ’ ἕκαστον ἔτος
ἐμ μηνὶ Δελφινίωι, λαμβάνων παρὰ τῶν δι-
αδόχων μου τὰς διακοσίας δέκα δραχμάς,
ἀμέρας τρεῖς, ἀποδείξας ἐπιμηνίος ἐξ αὐ-
τῶν, καὶ θυέτω τᾶι μὲν ἐννεακαιδεκάται
ταῖς Μούσαις, τᾶι δὲ εἰκάδι τοῖς ἥρωσιν {Φοί}

§ 3. – Je laisse le musée avec l’enclos des monuments funéraires à ma fille Épitéléia ; je veux qu’ayant recueilli aussi le revenu de mes autres biens, elle paye chaque année, dans le moi Eleusinios, 210 drachmes à la communauté des hommes du parentage fondée par moi.

§ 4. – Nul n’aura le droit de vendre le musée ni l’enclos des monuments. Aucune des figures qui sont soit dans le musée, soit dans l’enclos des monuments, ne pourra être mise en gage, ni échangée, ni aliénée en aucune manière, ni sous aucun prétexte, et il ne pourra être fait dans l’enclos aucune construction, à moins qu’on ne veuille construire un portique. Le musée ne pourra être mis à la disposition de personne, si ce n’est pour les noces d’un descendant d’Épitéléia. Celui qui enfreindra cette défense en sera empêché par la communauté, et l’empêchement opposé par la communauté à tout acte de ce genre sera décisif. Personne n’aura le droit d’emporter aucun des objets qui sont dans le musée. En cas d’infraction, il y aura empêchement par la communauté des parents et cet musée. En cas d’infraction, il y aura empêchement par la communauté des parents et cet empêchement sera décisif.

§ 5. – Le sacerdoce des muses et des héros appartiendra au fils de ma fille, Andragoras, et s’il lui arrive quelque chose, successivement au plus âgé des descendants d’Épitéléia.

§ 6. – La communauté des hommes du parentage se réunira dans le musée, chaque année, au mois Delphinios. Elle recevra de mes successeurs les 210 drachmes, elle désignera dans son sein des officiants pour 3 journées, et elle sacrifiera le dix-neuvième jour aux muses, le vingtième aux héros Phoenix et Épictéta, et le vingt et unième à Cratésilochos et Andragoras.

**COL 3.**

Φοίνικι καὶ Ἐπικτήται, τᾶι δὲ ἀμφεικάδι
Κρατησιλόχωι καὶ Ἀνδραγόραι· εἰ δέ κα μὴ ἀπο{ι}-
δῶι {[26]ἀποδῶι}[26] Ἐπιτέλεια [ε]ἳ οἱ κλαρονόμοι αὐτᾶς ἐν τῶι Ἐ-
λευσυνίωι μηνὶ τῶι ἀνδρείωι τῶν συγγενῶν
τὰς διακοσίας δέκα δραχμάς, ἔστω ἁ καρπεία
τῶν προδεδη[λ]ωμένων χωρίων τῶν ἐμ Μελαι-
ναῖς τοῦ κοινο[ῦ] τοῦ ἀνδρείου τῶν συγγενῶν
ποτὶ τὰς διακοσί[α]ς δραχμάς· εἰ δέ κα προαιρῶνται
τὰν ἀσφάλειαν, [δ]όμεν οἱ διάδοχοί μευ τῶι κοινῶι
τοῦ ἀνδρείου τᾶν τρισχιλιᾶν δραχμᾶν καὶ ἐς ἄλλα
χωρία ἐξουσίαν ἐχόντων, διδόντες ἀσφαλεῖς
τὰς ὑποθήκας. τῶν δὲ συγγενῶν ὧν συναγά-
γοχα ὀνόματά ἐστι τὰ ὑπογεγραμμένα·
Ὑπερείδης Θρασυλέοντος, Ἀντισθένης Ἰσοκλεῦς,
κατὰ δε [υἱ]οθεσί[α]ν Γρίννου, Ἀριστόδαμος Ἰσοκλεῦς,
Τιμήσιος Πραξι[τ]έλους, Εὐαγόρας Προκλείδα,
Προκλείδας Εὐ[α]γόρα, Καρτιδάμας Προκλείδα,
Ἁγνο<σ>θένης Καρτιδάμα, Προκλείδας Ἀλκιμέδοντος,
Βωλακράτης Ἀγ[λ]ωσθένους, Ἀρχίνικος Γοργώπα,
Στάρτοφος Βω[λ]ακράτους, Γοργώπας Ἀρχινίκου,
Γοργώπας Ἐχε[σ]τρατου, Γοργώπας Καρτιδάμα,
Ἀγαθόστρατος [Κρ]ατησιλόχου, Μόλλις Πολυμήδευς,
Καρτιδάμας κα[ὶ] Κρατησίλοχος καὶ Δίων
καὶ Δωροκλε[ί]δας οἱ Ἀγαθοστράτου,
Ἵμερτος Ἱμερο[φ]ῶντος, Κρίτος Τεισάνορος,
Πολύνικος κ[αὶ] Εὐαγόρας οἱ Σωτέλους.
πορευέσθωσ[αν] δὲ καὶ αἱ τούτοις συνοικοῦσαι γυ-
ναῖκες καὶ τὰ [τέ]κνα αὐτῶν, τὰ μὲν θήλεια ἕως
κα ἦ̣ ὑπὸ τὸν πα[τ]έρα, τὰ δὲ ἄρσενα καὶ ἐν ἁλικίαι γε-
νόμενα καὶ τὰ ἐκ τούτων κατὰ τὰ αὐτά· πορευέσ-
θων δὲ καὶ αἱ ἐπίκλαροι καὶ οἱ συνοικοῦντες αὐ-
ταῖς καὶ τὰ ἐκ τα[υ]τᾶν τέκνα κατὰ τὰ αὐτὰ τοῖς προ-
γεγραμμένοις· πορευέσθω δὲ καὶ ἁ ὁμώνυμός
μου Ἐπικτητα καὶ ἁ θυγάτηρ μου Ἐπιτέλεια καὶ
αἱ Γοργώπα θυ[γ]ατέρες Μνασὼ καὶ Αἰνησίππα
καὶ αἱ Θρασυλέοντος θυγατέρες Βασιλοδίκα
καὶ Τελεσίππ[α] καὶ Καλλιδίκα ἁ Ἰσοκλεῦς καὶ οἱ
ταύταις συνοι[κ]οῦντες· πορευέσθω δὲ καὶ ἁ Ἀρι-
στάρχου θυγάτηρ Ἐπιτέλεια καὶ τὰ ἐκ ταυτᾶν τέκνα.
μάρτυρες· Χαρ.......... Εὐαγόρας Προκλεί[δα]
Ἀντισθένης [Ἰσοκλεῦς, κατὰ δὲ υἱοθεσίαν Γρίννου].

§ 7. – Si le payement des 210 drachmes n'est pas fait pas Épitéléia ou ses héritiers dans le mois Éleusinios à la communauté des hommes du parentage, ladite communauté des hommes du parentage prendra les fruits des terres ci-dessous désignées à Mélènes, jusqu'à concurrence de 2(10) drachmes. Si toutefois mes successeurs aiment mieux faire porter sur d'autres biens la garantie due à la communauté pour les 3 000 drachmes, ils pourront le faire à condition que les hypothèques fournies soient solides.

§ 8. – Suivent les noms des parents que j'ai réunis en communauté : Hypéride fils de Thrasyléon, Antisthènes fils d'Isoclès et, par adoption, de Grinnos, Aristodamos fils d'Isoclès, Timésios fils de Praxitèle, Évarogas fils de Proclidas, Proclidas fils d'Évagoras, Cartidamas fils de Proclidas, Hagnosthénès fils de Cartidamas, Proclidas fils d'Alcimédon, Blocacratès fils d'Aglosthénès, Archinique fils de Gorgopas, Startophos fils de Bolacratès, Gorgopas fils d'Archinique, Gorgopas fils d'Échestrate, Gorgopas fils de Cartidamas, Agathostrate fils de Cratésilochos, Mollis fils de Polymède, Cartidamas, Cratésilochos, Dion et Doroclidas, tous fils d'Agathostrate, Himertos fils d'Himérophon, Critos fils de Tisanor, Polynice et Évagoras, tous deux fils de Sotélès.

§ 9. – Seront admis également leurs femmes habitant avec eux et les enfants, à savoir les filles tant qu'elles seront en puissance et leurs pères, et les garçons même après leur majorité ; enfin leurs descendants, en suivant la même direction. Les épiclères seront admises aussi avec leurs maris et leurs enfants, aux mêmes conditions que les personnes ci-dessus nommées. Seront admises aussi mon homonyme Épictéta, et ma fille Épitéléia, et les filles de Gorgopas, Mnaso et Aenésippa, et les filles de Thrasyléon, Basilodica et Télésippa, et Callidica, la fille d'Isoclès, et leurs maris. Seront également admis la fille d'Aristarque, Épitéléia, ainsi que les enfants de toutes ces femmes.

§ 10. – Témoins Cha[ron, fils de N.], Évagoras fils de Proclidas, Antisthène fils d'Isoclès et par adoption de Grinnos.

*La deuxième partie de l'inscription (l. 109 jusqu'à la fin) correspond aux règles de l'association écrites après la rédaction du testament.*

## 7. Argéa de Théra (fin du IIIe - début du IIe siècle av. J.-C.)

**Référence :** *IG* XII, 3, 329

### Texte

[ἔδοξ]ε τῶι κοιν[ῶι] τοῦ Ἀνθισ-
[τῆ]ρος τοῦ πυθοχρήστου˙ ἐ-
[π]ειδὴ Ἀργέα ἁ Δίω[ν]ος φιλό-
δοξος οὖσα καὶ δηλομένα
τᾶς ἰδίας καλοκἀγαθίας μνάμαν ἀ-
πολεῖπεν ἐς πάντα τὸν χρό[νο]ν ἐπαγ-
γέλλεται τῶι κοινῶι δραχμὰ[ς] πε[ν]-
[τ]ακοσίας ὥστ[ε] ἐπάγεσθαι ἀ[εὶ τὰν(?)]
[ἑ]βδόμαν αὐτᾶς τε καὶ τᾶς θυγα[τρὸς]
[Ἰσ]θμῶς κατὰ [κ]οινόν˙ δεδόχθαι ἀ[ποδε]-
ξαμένος τὰν ἐπαγγελίαν τὸ μ[ὲν ἀρ]-
γύριον ἐγδανεῖσαι τὸς ἐπισκό[πος]
Δίωνα καὶ Μελέϊππον ἐπὶ ὑ[ποθέμα]-
τι ἀξιόχρεωι, ἀπὸ δὲ τοῦ πίπ[τοντος]
διαφόρου συνάγεσθαι τὰν [συναγω]-
[γὰ]ν κατὰ τ[ὰ γε]γρα[μμένα — — — —]

### Traduction (JACCOTTET 2003, p. 279-280, n⁰170)

Il a plu à la communauté d'Anthister, celui qui est confirmé par l'oracle de la Pythie : attendu qu'Argéa, épouse de Dion, qui se montre zélée et manifeste (la volonté) de laisser à la postérité le souvenir d'une femme de bien, fait à la communauté une promesse de don de cinq cents drachmes de sorte que soit introduite dans la communauté (la fête) du septième jour (?) pour elle-même et pour sa fille Isthmô ; plaise (à la communauté), une fois que l'inspecteur aura reçu la promesse de don, que l'argent soit placé à intérêts par Dion et Melehippos sur une base convenable, tandis que, sur l'intérêt échu, l'on organise la réunion conformément à ce qui a été écrit (ci-dessus).

## 8. Échénikè de Délos (vers 250 av. J.-C.)

*Don de 3 000 drachmes*

### Texte (*IG* XI, 2, 287, l. 122-123)

Μένητι τῆς στήλης καὶ βατῆρος τιμὴ ΔΔΔΔΠ˙ καὶ Βίωνι ἐργασαμένωι τὴν στήλην καὶ τὸν βατῆρα ΔΔΗΗΗ. καὶ τόδε ἀργύριον ἐδανείσαμεν˙ μηνὸς Ληναιῶνος κατὰ ψήφισμα τῆι πόλει καὶ προδανεισταῖς τοῖς βο[υ]- λευταῖς δραχμὰς ΧΧΧ ἃς ἀνέθηκεν Ἐχενίκη Στησίλεω εἰς θυσίαν τῶι τε Ἀπόλλωνι καὶ τῆι Ἀφροδίτηι, ἐπὶ ὑποθήκει ταῖς προσόδοις ταῖς δημοσίαις˙ ἡ συγγραφὴ παρὰ Πάχητι.

### Traduction (E. LE QUERE)

À Ménès, prix de la stèle et de la base, 45 (drachmes) ; et à Bion, qui a fabriqué la stèle et la base, 23 (drachmes). Nous avons également fait le prêt d'argent suivant : au mois Lénéen, conformément au décret, à la cité et aux bouleutes agissant en qualité de *prodaneistai*, 3 000 drachmes, qu'Échéniké fille de Stésiléos a consacrées pour le sacrifice en l'honneur d'Apollon et d'Aphrodite, prêtées avec hypothèque sur les revenus publics. Le contrat se trouve chez Pakhès.

*Consécration d'une phiale en argent*

### Texte (*IG* XI, 2, 287, l. 32)

καὶ ἐπὶ τῆς ἡμετέρας ἀρχῆς˙ φιάλη ἔκτυπος ἀργυρᾶ, Ἐχενίκης ἀνάθημα, ὁλκὴ ΗΔΔ.

### Traduction (E. LE QUERE)

et pour notre entrée en charge : une phiale à reliefs en argent, offrande d'Échénikè, d'un poids de 120 drachmes.

*Consécration d'une* kylix *en or*

### Texte (*IG* XI, 2, 287, l. 75)

καὶ ἐπὶ τῆς ἡμετέρας ἀρχῆς˙ κύλιξ χρυσῆ, Ἐχενίκης ἀνάθημα, ὁλκὴ.

### Traduction (E. LE QUERE)

et pour notre entrée en charge : une *kylix* en or, offrande d'Échénikè, d'un poids de 50 drachmes.

*Consécration dans l'Aphrodision d'une statuette*

**Texte (*ID* 1417, col. II.1, l. 4-5)**

ἀφροδίσιον λίθινον ἐπὶ βάσεως λιθίνης,
ἀνάθεμα Ἐχενίκης·

**Traduction (E. Le Quere)**

